πάντας τοὺς λόγους τούτους λέγων Εἰσαγάγετε τὸν τράχηλον
14 ὑμῶν [14]καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος, ὅτι ἄδικα αὐτοὶ
15 προφητεύουσιν ὑμῖν· [15]ὅτι οὐκ ἀπέστειλα αὐτούς, φησὶν κύριος,
καὶ προφητεύουσιν τῷ ὀνόματί μου ἐπ᾽ ἀδίκῳ πρὸς τὸ ἀπολέσαι
ὑμᾶς, καὶ ἀπολεῖσθε ὑμεῖς καὶ οἱ προφῆται ὑμῶν οἱ προφητεύοντες
16 ὑμῖν ἐπ᾽ ἀδίκῳ ψευδῆ. [16]ὑμῖν καὶ παντὶ τῷ λαῷ τούτῳ καὶ τοῖς
ἱερεῦσιν ἐλάλησα λέγων Οὕτως εἶπεν κύριος Μὴ ἀκούετε τῶν λό-
γων τῶν προφητῶν τῶν προφητευόντων ὑμῖν λεγόντων Ἰδοὺ
σκεύη οἴκου κυρίου ἐπιστρέψει ἐκ Βαβυλῶνος· ὅτι ἄδικα αὐτοὶ
18 προφητεύουσιν ὑμῖν, οὐκ ἀπέστειλα αὐτούς. [18]εἰ προφῆταί εἰσιν
19 καὶ εἰ ἔστιν λόγος κυρίου ἐν αὐτοῖς, ἀπαντησάτωσάν μοι· [19]ὅτι
20 οὕτως εἶπεν κύριος Καὶ τῶν ἐπιλοίπων σκευῶν, [20]ὧν οὐκ ἔλαβεν
βασιλεὺς Βαβυλῶνος, ὅτε ἀπῴκισεν τὸν Ιεχονιαν ἐξ Ιερουσαλημ,
22 [22]εἰς Βαβυλῶνα εἰσελεύσεται, λέγει κύριος.
35 [1]Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Σεδεκια βασιλέως Ιουδα ἐν μηνὶ
τῷ πέμπτῳ εἶπέν μοι Ανανιας υἱὸς Αζωρ ὁ ψευδοπροφήτης ὁ ἀπὸ
Γαβαων ἐν οἴκῳ κυρίου κατ᾽ ὀφθαλμοὺς τῶν ἱερέων καὶ παντὸς
2 τοῦ λαοῦ λέγων [2]Οὕτως εἶπεν κύριος Συνέτριψα τὸν ζυγὸν τοῦ
3 βασιλέως Βαβυλῶνος· [3]ἔτι δύο ἔτη ἡμερῶν ἐγὼ ἀποστρέψω εἰς
4 τὸν τόπον τοῦτον τὰ σκεύη οἴκου κυρίου [4]καὶ Ιεχονιαν καὶ τὴν
ἀποικίαν Ιουδα, ὅτι συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος.
5 [5]καὶ εἶπεν Ιερεμιας πρὸς Ανανιαν κατ᾽ ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ
καὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἱερέων τῶν ἑστηκότων ἐν οἴκῳ κυρίου
6 [6]καὶ εἶπεν Ιερεμιας Ἀληθῶς· οὕτω ποιήσαι κύριος· στήσαι τὸν
λόγον σου, ὃν σὺ προφητεύεις, τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου
κυρίου καὶ πᾶσαν τὴν ἀποικίαν ἐκ Βαβυλῶνος εἰς τὸν τόπον τοῦ-
7 τον. [7]πλὴν ἀκούσατε τὸν λόγον κυρίου, ὃν ἐγὼ λέγω εἰς τὰ ὦτα
8 ὑμῶν καὶ εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ [8]Οἱ προφῆται οἱ γεγονότες
πρότεροί μου καὶ πρότεροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἐπροφήτευ-
9 σαν ἐπὶ γῆς πολλῆς καὶ ἐπὶ βασιλείας μεγάλας εἰς πόλεμον· [9]ὁ
προφήτης ὁ προφητεύσας εἰς εἰρήνην, ἐλθόντος τοῦ λόγου γνώ-
10 σονται τὸν προφήτην, ὃν ἀπέστειλεν αὐτοῖς κύριος ἐν πίστει. [10]καὶ
ἔλαβεν Ανανιας ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ τοὺς κλοιοὺς ἀπὸ
11 τοῦ τραχήλου Ιερεμιου καὶ συνέτριψεν αὐτούς. [11]καὶ εἶπεν Ανανιας

14 εργασασθε B] -σεσθαι(pro -θε) S, -ζεσθαι(pro -θε) A† || 15 προφητευσουσιν S | τω] pr. επι A || 16 και 1⁰ > S† | λεγοντων] pr. ψευδη και A† | επιστρεφει A || 18 init.] pr. και A† | ει 2⁰ > A | λογος] νομος S*† || 19 υπολοιπων S† || 20 οτε] οτι B*A*† || 22 κυριος] + ο θεος S†

35 (𝔐 28) 1 σεδεκια BS†] βασιλευοντος -κιου rel.; de forma nominis cf. 1 3 | μηνι / τω πεμπτω] tr. A† | ο 2⁰ > BQ† || 2 του > S || 3 δυο ετη] tr. A† | εγω] pr. και B || 4 ιεχον.] pr. τον A | συνετριψα A†: ex 2 | βασ.] pr. του A† || 6 ποιησι S*†, -σει Sᶜ | στησαι] + κυριος A || 8 μεγαλης S† || 9 εις > S

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/720 UNIVERSITÄT LEIPZIG